θέντες τὰ εἴδη καὶ τὰ μαθηματικά· οἱ δὲ τὰ μαθηματικὰ μόνον τούτων. ἐκεῖναι μὲν δὴ φυσικῆς (μετὰ κινήσεως γάρ) αὕτη δ' ἑτέρας, εἰ μηδεμία αὐτῆς ἀρχὴ κοινή.

Κεφάλαιον β.

Ἡ δ' αἰσθητὴ οὐσία μεταβλητή. εἰ δ' ἡ μεταβολὴ ἐκ τῶν ἀντικειμένων, ἢ τῶν μεταξύ, ἀντικειμένων δὲ μὴ πάντων (οὐ λευκὸν γὰρ ἡ φωνή) ἀλλ' ἐκ τοῦ ἐναντίου, ἀνάγκη εἶναι καί τι τὸ μεταβάλλον εἰς τὴν ἐναντίωσιν. οὐ γὰρ τὰ ἐναντία μεταβάλλει. Ἔτι τὸ μὲν ὑπομένει, τὸ δ' ἐναντίον οὐχ ὑπομένει. ἔστιν ἄρα τι τρίτον παρὰ τὰ ἐναντία, ἡ ὕλη. εἰ δὴ αἱ μεταβολαὶ τέτταρες, ἢ κατὰ τὸ τί, ἢ κατὰ τὸ ποιὸν ἢ ποσὸν, ἢ πού· καὶ γένεσις μὲν ἡ ἁπλῆ καὶ φθορὰ, ἡ κατὰ τόδε· αὔξησις δὲ φθίσις, ἡ κατὰ τὸ ποσόν· ἀλλοίωσις δὲ, ἡ κατὰ τὸ πάθος· φορὰ δὲ, ἡ κατὰ τόπον, εἰς ἐναντιώσεις ἂν εἶεν τὰς καθ' ἕκαστον αἱ μεταβολαί. ἀνάγκη δὴ μεταβάλλειν τὴν ὕλην δυναμένην ἄμφω. ἐπεὶ δὲ διττὸν τὸ ὄν, μεταβάλλει πᾶν ἐκ τοῦ δυνάμει ὄντος, εἰς τὸ ἐνεργείᾳ ὄν· οἷον, ἐκ λευκοῦ δυνάμει, εἰς τὸ ἐνεργείᾳ λευκόν. ὁμοίως δὲ καὶ ἐπ' αὐξήσεως καὶ φθίσεως. ὥστε οὐ μόνον κατὰ συμβεβηκὸς ἐνδέχεται γενέσθαι ἐκ μὴ ὄντος, ἀλλὰ καὶ ἐξ ὄντος γίγνεται πάντα· δυνάμει μέντοι ὄντος, ἐκ μὴ ὄντος δὲ ἐνεργείᾳ· καὶ τοῦτό ἐστι τὸ Ἀναξαγόρου ἕν (βέλτιον γὰρ ἦν ὁμοῦ πάντα) καὶ Ἐμπεδοκλέους τὸ μῖγμα καὶ Ἀναξιμάνδρου· καὶ ὡς Δημόκριτός φησιν, ἦν ὁμοῦ πάντα δυνάμει, ἐνεργείᾳ δ' οὔ. ὥστε τῆς ὕλης ἂν εἶεν ἡμμένοι. πάντα δ' ὕλην ἔχει ὅσα μεταβάλλει· ἀλλ' ἑτέραν καὶ τῶν ἀϊδίων, ὅσα μὴ γεννητὰ, κινητὰ δὲ φορᾷ· ἀλλ' οὐ γεννητὴν, ἀλλὰ πόθεν ποῖ. ἀπορήσειε δ' ἄν τις, ἐκ ποίου μὴ ὄντος ἡ γένεσις. τριχῶς γὰρ τὸ μὴ ὄν. εἰ δή τί ἐστιν δυνάμει, ἀλλ' ὅμως οὐ τοῦ τυχόντος· ἀλλ' ἕτερον ἐξ ἑτέρου. οὐδ' ἱκανὸν, ὅτι ὁμοῦ πάντα χρήματα. διαφέρει γὰρ τῇ ὕλῃ· ἐπεὶ διὰ τί ἄπειρα ἐγένετο, ἀλλ' οὐχ ἕν; ὁ γὰρ νοῦς, εἷς. ὥστε εἰ ὕλη μία, ἐκεῖνο ἐγένετο καὶ ἐνεργείᾳ, οὗ καὶ ἡ ὕλη ἦν δυνάμει. τρία δὴ τὰ αἴτια, καὶ τρεῖς αἱ ἀρχαί· δύο μὲν ἡ ἐναντίωσις, ἧς τὸ μὲν λόγος καὶ εἶδος, τὸ δὲ στέρησις· τὸ δὲ τρίτον, ἡ ὕλη.

tam species, quàm mathematica, quidam ex his mathematica solùm. Illæ itaque philosophiæ naturalis: cum motu nanque sunt. Ista autem alterius est, si nullum eis commune principium est.

CAPVT II.

Sensibilis verò substantia, mutabilis est. Si itaque ex oppositis, aut mediis mutatio sit, oppositis vero non omnibus (album non ex voce, verùm ex contrario) necesse est aliquid subesse, quod in contrarietatem mutetur: non enim contraria transmutantur. Præterea hoc quidem permanet, contrarium verò non permanet. Est igitur aliquid tertium præter contraria, ipsa materia. Si itaque transmutationes sunt quatuor, aut secundum ipsum quid, aut secundum quale, aut quantum, aut vbi: ac generatio simplex, & corruptio, quæ secundum quod quid fit, augmentatio, & diminutio, quæ secundum quantum, alteratio, quæ secundum passionem, latio verò, quæ secundum locum, profecto in contrarietates in vnoquoque mutationes sunt. Necesse est igitur mutari materiam, quæ ambo possit. Cùm autem duplex sit ens, omne mutatur ex potentia ente in actu ens, vt ex potentia albo, in actu album. Eodem autem modo & de augmentatione, & diminutione. Quare non solùm per accidens, ex non ente fieri contingit, sed etiam ex ente omnia fiunt, verùm potentia quidem ente, actu vero ex non ente. Et hoc est Anaxagoræ vnum. Melius nanque quàm cuncta simul, & quàm mistura Empedoclis, ac Anaximandri: &, vt Democritus quoque ait, simul omnia potentia erant, actu vero minimè: quare materiam tetigerunt. Cuncta vero quæcunque mutantur, materiam habent, sed diuersam, nam & ipsorum sempiternorum quæcunque non sunt generabilia, sed latione mobilia, attamen non generabilem, sed vnde, quo. Dubitare vero quispiam possit, ex quo non ente generatio fiat: tripliciter enim non ens dicitur. Si igitur quippiam est potentia (veruntamen non ex quocunque) sed cùm alterum ex altero. Nec id sufficit, quod simul omnes res erant, quia differunt materia. Cur enim infinita facta fuissent, & non vnum, cùm intellectus vnus sit? quare si materia vna, illud actu fuisset factum, cuius materia potentia erat. Tres itaque causæ, & tria principia: duo quidem ipsa contrarietas, cuius hoc quidem ratio & species, hoc vero priuatio, tertium vero materia.